ὁ ἀντικείμενος προοιμιαζόμενος ἤδη τὴν ἀδεῶς μέλλουσαν ἔσεσθαι παρουσίαν αὐτοῦ· καὶ διὰ
πάντων διῆλθεν ἐθίζων τοὺς ἑαυτοῦ καὶ προγυμνάζων κατὰ τῶν δούλων τοῦ θεοῦ· ὥστε
μὴ μόνον οἰκιῶν καὶ βαλανείων καὶ ἀγορᾶς εἴργεσθαι· ἀλλὰ καὶ τὸ καθόλου φαίνεσθαι
ἡμῶν τινα αὐτοῖς ἀπειρῆσθαι ἐν ὁποίῳ δή ποτε τόπῳ· ἀντεστρατήγει δὲ
ἡ χάρις τοῦ θεοῦ· καὶ τοὺς μὲν ἀσθενεῖς ἐρρύετο· ἀντιπαρέτασσε δὲ στύλους ἑδραίους δυνα-
μένους διὰ τῆς ὑπομονῆς πᾶσαν τὴν ὁρμὴν τοῦ πονηροῦ εἰς ἑαυτοὺς ἑλκύσαι· οἳ καὶ ὁμόσε
ἐχώρουν αὐτῷ· πᾶν εἶδος ὀνειδισμοῦ καὶ κολάσεως ἀνεχόμενοι· οἳ καὶ τὰ πολλὰ
ὀλίγα ἡγούμενοι, ἔσπευδον πρὸς Χριστόν· ὄντως ἐπιδεικνύμενοι, ὅτι οὐκ ἄξια τὰ παθή-
ματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς· καὶ πρῶτον
μὲν τὰ ἀπὸ τοῦ ὄχλου πανδημεὶ σωρηδὸν ἐπιφερόμενα, γενναίως ὑπέμενον·
ἐπιβοήσεις καὶ πληγὰς καὶ συρμοὺς καὶ διαρπαγὰς καὶ λίθων βολὰς καὶ συγκλείσεις· καὶ
πάνθ' ὅσα ἠγριωμένῳ πλήθει ὡς πρὸς ἐχθροὺς καὶ πολεμίους φιλεῖ γίνεσθαι· καὶ δὴ
ἀναχθέντες εἰς τὴν ἀγορὰν ὑπό τε τοῦ χιλιάρχου καὶ τῶν προεστηκότων τῆς πόλεως ἐξουσιῶν·
ἐπὶ παντὸς τοῦ πλήθους ἀνακριθέντες καὶ ὁμολογήσαντες, συνεκλείσθησαν εἰς τὴν
εἱρκτὴν ἕως τῆς τοῦ ἡγεμόνος παρουσίας· μετέπειτα δὲ ἐπὶ τὸν ἡγεμόνα ἀχθέντων
αὐτῶν, κἀκείνου πάσῃ τῇ πρὸς ἡμᾶς ὠμότητι χρωμένου, Οὐέττιος Ἐπάγαθος εἷς ἐκ τῶν
ἀδελφῶν πλήρωμα ἀγάπης τῆς πρὸς τὸν θεὸν καὶ τὸν πλησίον κεχωρηκὼς οὗ ἐπὶ
τοσοῦτον ἠκρίβωτο ἡ πολιτεία· ὡς καίπερ ὄντα νέον, συνεξισοῦσθαι τῇ
τοῦ πρεσβυτέρου Ζαχαρίου μαρτυρίᾳ· πεπόρευτο γοῦν ἐν πάσαις ταῖς ἐντολαῖς καὶ
δικαιώμασι τοῦ κυρίου ἄμεμπτος· καὶ πάσῃ τῇ πρὸς τὸν πλησίον λειτουργίᾳ ἄοκνος·
ζῆλον θεοῦ πολὺν ἔχων καὶ ζέων τῷ πνεύματι· τοιοῦτος δή τις ὢν τὴν οὕτως καθ' ἡμῶν
ἀλόγως γινομένην κρίσιν οὐκ ἐχώρησεν· ἀλλ' ὑπερηγανάκτησε· καὶ ἠξίου καὶ αὐτὸς
ἀκουσθῆναι ἀπολογούμενος ὑπὲρ τῶν ἀδελφῶν, ὅτι μηδὲν ἄθεον μηδὲ ἀσεβές ἐστιν ἐν
ἡμῖν· τῶν δὲ περὶ τὸ βῆμα καταβοησάντων αὐτοῦ· καὶ γὰρ ἦν ἐπίσημος· καὶ τοῦ ἡγεμόνος μὴ
ἀνασχομένου τὴν οὕτως ὑπ' αὐτοῦ δικαίως προταθεῖσαν ἀξίωσιν· ἀλλὰ μόνον τοῦτο
πυθομένου εἰ καὶ αὐτὸς εἴη χριστιανός· τοῦ δὲ λαμπροτάτῃ φωνῇ ὁμολογήσαντος
ἀνελήφθη καὶ αὐτὸς εἰς τὸν κλῆρον τῶν μαρτύρων· καὶ αὐτὸς παράκλητος χρι-
στιανῶν χρηματίσας· ἔχων δὲ τὸν παράκλητον ἐν ἑαυτῷ, τὸ πνεῦμα πλεῖον τοῦ Ζαχαρί-
ου· ὃ διὰ τοῦ πληρώματος τῆς ἀγάπης ἐνεδείξατο εὐδοκήσας ὑπὲρ τῆς τῶν ἀδελ-
φῶν ἀπολογίας καὶ τὴν ἑαυτοῦ θεῖναι ψυχήν· ἦν γὰρ καὶ ἔστι γνήσιος Χριστοῦ μαθητὴς
ἀκολουθῶν τῷ ἀρνίῳ ὅπου ἂν ὑπάγῃ· ἐντεῦθεν δὴ διεκρίνοντο οἱ λοιποί· καὶ
φανεροὶ καὶ ἕτοιμοι ἐγίνοντο πρωτομάρτυρες· οἳ καὶ μετὰ πάσης προθυμίας
ἀνεπλήρουν τὴν ὁμολογίαν τῆς μαρτυρίας· ἐφαίνοντο δὲ καὶ οἱ ἀνέτοιμοι
καὶ ἀγύμναστοι καὶ ἔτι ἀσθενεῖς, ἀγῶνος μεγάλου τόνον ἐνεγκεῖν μὴ δυν

http://digital.slub-dresden.de/ppn334880238/36